Ακαδημία Αθηνών / Academy of Athens

mind/intelligence, Ἡράκλειτος 40 *πολυμαθίη ν ό ο ν ἔχειν οὐ διδάσκει* 104 *τίς γὰρ αὐτῶν ν ό ο ς ἢ φρήν;* 114 *ξὺν ν ό ῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Δημόκριτος 35 *γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν ν ό ῳ, πολλὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει* 52 *τὸν οἰόμενον ν ο ῦ ν ἔχειν ὁ νουθετέων ματαιοπονεῖ* 64 *πολλοὶ πολυμαθέες ν ο ῦ ν οὐκ ἔχουσιν* 105 *σώματος κάλλος ζῳῶδες, ἢν μὴ ν ο ῦ ς ὑπῇ* 282 *χρημάτων χρῆσις ξὺν ν ό ῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή* **4.** Νοῦς (ὡς κοσμικὴ ἀρχή), mind (as a cosmic principle), Ἀναξαγόρας 11 *ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν ν ο ῦ, ἔστιν οἷσι δὲ καὶ ν ο ῦ ς ἔνι* 12.1-12-13-17-19-27 *τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, ν ο ῦ ς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι ... καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων ν ο ῦ ς κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης ν ο ῦ ς ἐκράτησεν... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα διακρινόμενα πάντα ἔγνω ν ο ῦ ς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁποῖα ἔσται, πάντα διεκόσμησε ν ο ῦ ς ... παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν ν ο ῦ. ν ο ῦ ς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων* 13 *καὶ ἐπεὶ ἤρξατο ὁ ν ο ῦ ς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ ν ο ῦ ς, πᾶν τοῦτο διεκρίθη* 14 *ὁ δὲ ν ο ῦ ς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις* Δημόκριτος 5 *τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ ν ο ῦ.*

**νυκτιφαής.** Νυκτόφεγγος, shining by night, Παρμενίδης 14 *ν υ κ τ ι φ α ὲ ς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς.*

**νῦν.** Τώρα, now, Ξενοφάνης 1.1 *ν ῦ ν γὰρ δὴ ζάπεδον καθαρὸν* 7.1 *ν ῦ ν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον* Παρμενίδης 19.1 *οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε καί ν υ ν ἔασι* Ἐμπεδοκλῆς 62.1 *ν ῦ ν δ' ἄγ'* 131.3 *εὐχομένῳ ν ῦ ν αὖτε παρίστασο, Καλλιόπεια* Ἀναξαγόρας 6.6 *καὶ ν ῦ ν πάντα ὁμοῦ* 12.17-18 *ἅσσα ν ῦ ν μὴ ἔστι, καὶ ὅσα ν ῦ ν ἐστι καὶ ὁποῖα ἔσται* 14.1 *τὸ κάρτα καὶ ν ῦ ν ἐστιν* Διογένης 2.4 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ*